ΑΝΑΣΤ. Κ. Π. ΣΤΑΜΟΥΛΗ
ΤΟΥ ΕΚ ΣΗΛΥΒΡΙΑΣ
ΘΡΑΚΙΚΑ

# ΠΡΩΤΑΓΟΡΑΣ.

Hermann Diels: Fragmente der Vorsokratiker Berlin 1903 σ. 511-523

Διογένης IX 50-56

Πρωταγόρας Ἀρτέμωνος ἤ, ὡς Ἀπολλόδωρος καὶ Δίνων ἐν Περσικῶν ε΄, Μαιανδρίου Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς Περὶ νόμων, ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν· ὡς δ' Εὔπολις ἐν Κόλαξι, Τήιος· φησὶ γάρ· ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήιος. Οὗτος καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠρανίζοντο· καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ φησὶ βαρύφωνον εἶναι τὸν Πρόδικον. Διήκουσε δ' ὁ Πρωταγόρας Δημοκρίτου. (Ἐκαλεῖτο Σοφία, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.) Καὶ πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις· οἷς καὶ συνηρώτα, πρῶτος τοῦτο πράξας. Ἀλλὰ καὶ ἤρξατό που τοῦτον τὸν τρόπον· «πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν». Ἔλεγέ τε μηδὲν εἶναι ψυχὴν παρὰ τὰς αἰσθήσεις, καθὰ καὶ Πλάτων φησὶν ἐν Θεαιτήτῳ, καὶ πάντα εἶναι ἀληθῆ. Καὶ ἀλλαχοῦ δὲ τοῦτον ἤρξατο τὸν τρόπον· «περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσὶν οὔθ' ὡς οὐκ εἰσὶν οὔθ' ὁποῖοί τινες ἰδέαν· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι ἥ τ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου». Διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων.

Οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος μέρη χρόνου διώρισε καὶ καιροῦ δύναμιν ἐξέθετο καὶ λόγων ἀγῶνας ἐποιήσατο καὶ σοφίσματα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη καὶ τὸ νῦν ἐπιπολάζον γένος τῶν ἐριστικῶν ἐγέννησεν· ἵνα καὶ Τίμων φησὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

περὶ αὐτοῦ· ἐν Πρωταγόρᾳ [illegible] εἴρηται τὸ εἶδος. Οὗτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκίνησε. Καὶ τὸν Ἀντισθένους λόγον τὸν πειρώμενον ἀποδεικνύειν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ. Καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ἐπιχειρήσεις, ὥς φησιν Ἀρτεμίδωρος ὁ διαλεκτικὸς ἐν τῷ πρὸς Χρύσιππον. Καὶ πρῶτος τὴν καλουμένην τύλην, ἐφ' ἧς τὰ φορτία βαστάζουσιν, εὗρεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ Παιδείας. Φορμοφόρος γὰρ ἦν, ὥς καὶ Ἐπίκουρός πού φησι. καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημόκριτον ξύλα δεδεκὼς ὀφθείς. Διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα, εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν· οἱ δὲ εἰς ἑπτά, διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, ἀπαγγελίαν, εὐχωλήν, κλῆσιν, οὓς καὶ πυθμένας εἶπε λόγων. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησί, φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν. Πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν Περὶ θεῶν, οὗ τὴν ἀρχὴν ἄνω παρεθέμεθα. ἀνέγνω δ' Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ ἤ, ὥς τινες, ἐν τῇ Μεγακλείδου· ἄλλοι ἐν Λυκείῳ, μαθητοῦ τὴν φωνὴν αὐτῷ χρήσαντος Ἀρχαγόρου τοῦ Θεοδότου. Κατηγόρησε δ' αὐτοῦ Πυθόδωρος Πολυζήλου, εἷς τῶν τετρακοσίων. Ἀριστοτέλης δ' Εὔαθλόν φησιν.

Ἔστι δὲ τὰ σῳζόμενα αὐτοῦ βιβλία τάδε· *** Τέχνη Ἐριστικῶν, Περὶ Πάλης, Περὶ τῶν Μαθημάτων, Περὶ Πολιτείας, Περὶ Φιλοτιμίας, Περὶ Ἀρετῶν, Περὶ τῆς ἐν Ἀρχῇ Καταστάσεως, Περὶ τῶν ἐν Ἅιδου, Περὶ τῶν οὐκ ὀρθῶς τοῖς Ἀνθρώποις Πρασσομένων, Προστακτικός, Δίκη ὑπὲρ Μισθοῦ, Ἀντιλογιῶν ᾱ β̄. Καὶ ταῦτα μὲν αὐτῷ τὰ βιβλία.
(Der die Hauptschriften enthaltende Katalog ist verloren. Der vorliegende ist ein Nachtrag, der (entsprechende Teil des Aristoteles-Pinax des Hesych. n. 140–187 bei Rose p. 16) auch aus der Litteratur geschöpfte Titelvarianten enthält.)

(ἀπολωλότα)

γέγραφε δὲ καὶ Πλάτων εἰς αὐτὸν διάλογον.
φησὶ δὲ Φιλόχορος, πλέοντος αὐτοῦ εἰς Σικελίαν τὴν ναῦν καταποντωθῆναι· καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι. ἔνιοι κατὰ τὴν ὁδὸν τελευτῆσαι αὐτόν, βιώσαντα ἔτη πρὸς τὰ ἐνενήκοντα.
Ἀπολλόδωρος δέ φησιν ἑβδομήκοντα, σοφιστεῦσαι δὲ τετταράκοντα καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα (444/1).

Folgt Epigramm des Diog.

λέγεται δέ ποτε αὐτὸν ἀπαιτοῦντα τὸν μισθὸν Εὔαθλον τὸν μαθητήν, ἐκείνου εἰπόντος, "ἀλλ' οὐδέπω νίκην νενίκηκα," εἰπεῖν, "ἀλλ' ἐγὼ μὲν ἂν νικήσω, ὅτι ἐγὼ ἐνίκησα, λαβεῖν με δεῖ· ἐὰν δὲ σύ, ὅτι σύ."

Φιλόστρατος V. σοφ. I. 10

Πρωταγόρας δὲ ὁ Ἀβδηρίτης σοφιστὴς καὶ Δημοκρίτου μὲν ἀκροατὴς οἴκοι ἐγένετο, ὡμίλησε δὲ καὶ τοῖς ἐκ Περσῶν μάγοις κατὰ τὴν Ξέρξου ἐπὶ τὴν Ἑλλάδα ἔλασιν. πατὴρ γὰρ ἦν αὐτῷ Μαιάνδριος πλούτῳ κατεσκευασμένος παρὰ πολλοὺς τῶν ἐν τῇ Θρᾴκῃ, δεξάμενος δὲ καὶ Ξέρξην οἰκίαις τε καὶ δώροις τὴν ξυνουσίαν τῶν μάγων τῷ παιδὶ παρ' αὐτοῦ εὕρετο· οὐ γὰρ παιδεύουσι τοὺς μὴ Πέρσας Πέρσαι μάγοι, ἢν μὴ ὁ βασιλεὺς ἐφῇ.
τὸ δὲ ἀπορεῖν φάσκειν, εἴτε εἰσὶ θεοὶ εἴτε οὐκ εἰσί, δοκεῖ μοι Πρωταγόρας ἐκ τῆς Περσικῆς παιδεύσεως παρανομῆσαι· μάγοι γὰρ ἐπιθειάζουσι μὲν οἷς ἀφανῶς δρῶσι, τὴν δὲ ἐκ φανεροῦ δόξαν τοῦ θείου καταλύουσιν οὐ βουλόμενοι δοκεῖν παρ' αὐτοῦ δύνασθαι. διὰ τοῦτο μὲν δὴ πάσης γῆς ὑπὸ Ἀθηναίων ἠλάθη ὡς μὲν λέγουσι κριθείς, ὡς δὲ ἐνίοις δοκεῖ, ψήφου ἐπενεχθείσης μὴ κριθέντι.
νήσους δὲ ἐξ ἠπείρων ἀμείβων καὶ τὰς Ἀθηναίων τριήρεις φυλαττόμενος πάσαις θαλάτταις ἐνεσπαρμένας κατέδυ πλέων ἐν ἀκατίῳ μικρῷ.
τὸ δὲ μισθοῦ διαλέγεσθαι πρῶτος εὗρε, πρῶτος δὲ παρέδωκεν Ἕλλησι, πρᾶγμα οὐ μεμπτόν· ἃ γὰρ σὺν δαπάνῃ σπουδάζομεν, μᾶλλον ἀσπαζόμεθα τῶν προῖκα.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Γνοὺς δὲ τὸν Πρωταγόραν ὁ Πλάτων σεμνῶς μὲν ἑρμηνεύοντα, ἐκκαλιάζοντα δὲ τῇ σεμνότητι καὶ πού τι καὶ μακρότερον τοῦ συμμέτρου, τὴν ἰδέαν αὐτοῦ μύθῳ μακρῷ ἐχαρακτήρισεν.

Ἡσύχιος: Onomatol. bei Schol. Plat. rep. 600c.

Vgl. Σουΐδας: Πρωταγόρας.
Πρωταγόρας Ἀρτέμωνος Ἀβδηρίτης. Οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτῳ ἐφιλοσόφησε καὶ ἐπὶ ῥητορείαν ἦλθε. Καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρε καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ. Διὸ καὶ ἐπεκλήθη Λόγος. Τούτου μαθηταὶ Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κεῖος. Ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπὸ Ἀθηναίων. εἶπε γάρ· „περὶ θεῶν οὐκ ἔχω εἰδέναι ... οὔθ᾽ ὁποῖοί τινες". Ἔγραψε δὲ κατ᾽ αὐτοῦ ὁ Πλάτων διάλογον. Πλέοντος δὲ αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησε ναυαγήσας ἔτη ἐννενήκοντα, σοφιστεύσας ἔτη τεσσαράκοντα.

Εὐσέβιος: Chron. Hier.

Euripides... clarus habetur et P. sophista cuius libros decreto publico Athenienses combusserunt Ol. 84,1 [illegible] [444, 443].

Ἀπουλήιος: Flor. 18P

P. qui sophista fuit longe multiscius et cum primis rhetoricae repertoribus perfacundus, Democriti physici civis aequaevus (inde ei suppeditata doctrina est), cum Protagoram aiunt cum suo sibi discipulo Euathlo mercedem... pepigisse etc.

Πλάτων: Πρωταγόρας 317 B [Scene um 431]

Πρωταγόρας: ἐγὼ οὖν τούτων [der verkappten Sophisten wie Orpheus] τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα, καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι καὶ παιδεύειν ἀνθρώπους...
C καίτοι πολλά γε ἔτη ἤδη εἰμὶ ἐν τῇ τέχνῃ· καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοί ἐστιν· οὐδενὸς ὅτου οὐ πάντων ἂν ὑμῶν καθ᾽ ἡλικίαν πατὴρ εἴην...
318 A Ὦ νεανίσκε, ἔσται τοίνυν σοι, ἐὰν ἐμοὶ συνῇς, ᾗ ἂν ἡμέρᾳ ἐμοὶ συγγένῃ, ἀπιέναι οἴκαδε βελτίονι γεγονότι, καὶ ἐν τῇ ὑστεραίᾳ ταὐτὰ ταῦτα· καὶ ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι... 318 E οἱ μὲν γὰρ ἄλλοι λωβῶνται τοὺς νέους· τὰς γὰρ τέχνας αὐτοὺς πεφευγότας ἄκοντας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τέχνας, λογισμούς τε καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ

καὶ μουσικὴν διδάσκοντες (καὶ ἅμα εἰς τὸν Ἱππίαν ἀπέβλεψεν), παρὰ δ' ἐμὲ ἀφικόμενος μαθήσεται οὐ περὶ ἄλλου του ἢ περὶ οὗ ἥκει. τὸ δὲ μάθημά ἐστιν εὐβουλία περὶ τῶν οἰκείων, ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ, καὶ περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν ... Σωκράτης. Δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην καὶ ὑπισχνεῖσθαι ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας. – Αὐτὸ μὲν οὖν τοῦτό ἐστιν, ἔφη, ὦ Σώκρατες, τὸ ἐπάγγελμα ὃ ἐπαγγέλλομαι.

Οἶδα γὰρ ἄνδρα ἕνα Πρωταγόραν πλείω χρήματα κτησάμενον ἀπὸ ταύτης τῆς σοφίας ἢ Φειδίαν. Πλάτων Μένων

## FRAGMENTE

### Πρωταγόρου ΑΛΗΘΕΙΑ ἢ ΚΑΤΑΒΑΛΛΟΝΤΕΣ

Καὶ Πρωταγόραν δὲ τὸν Ἀβδηρίτην ἐγκατέλεξάν τινες τῷ χορῷ τῶν ἀναιρούντων τὸ κριτήριον φιλοσόφων, ἐπεί φησι πάσας τὰς φαντασίας καὶ τὰς δόξας ἀληθεῖς ὑπάρχειν καὶ τῶν πρός τι εἶναι τὴν ἀλήθειαν διὰ τὸ πᾶν τὸ φανὲν ἢ δόξαν τινὶ εὐθέως πρὸς ἐκεῖνον ὑπάρχειν. «Ἐναρχόμενος» γοῦν τῶν «Καταβαλλόντων» ἀνεφώνησε· «πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν.» Sext. adv. math. VII 60

Κάδμος – Οὐ καταφρονῶ 'γὼ τῶν θεῶν θνητὸς γεγώς.
Τειρεσίας. – Οὐδὲν σοφιζόμεσθα τοῖσι δαίμοσι.
πατρίους παραδοχάς, ἅς θ' ὁμήλικας χρόνῳ
κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβαλεῖ λόγος,
οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν ηὕρηται φρενῶν.
Εὐριπ. Βάκχ. 192 ff.

Σωκράτης – Τὰ μὲν ἄλλα μοι πάνυ ἡδέως εἴρηκεν, ὡς τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ ἔστιν· τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς Ἀληθείας ὅτι πάντων χρημάτων μέτρον ἐστὶν ὗς ἢ κυνοκέφαλος ἤ τι ἄλλο ἀτοπώτερον τῶν ἐχόντων αἴσθησιν, ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν, ἐνδεικνύμενος ὅτι ἡμεῖς μὲν αὐτὸν ὥσπερ θεὸν ἐθαυμάζομεν ἐπὶ σοφίᾳ, ὁ δ' ἄρα ἐτύγχανεν ὢν εἰς φρόνησιν οὐδὲν βελτίων [βατράχου] γυρίνου, μὴ ὅτι ἄλλου του ἀνθρώπων. Πλάτων: Θεαίτητος 161 C

Platon Theait. 161 DE.

Πρωταγόρας — Ἐγὼ γάρ φημι μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή, μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι καὶ φαίνεται, τῷ δὲ ἄλλα.

Zum Titel Ἀλήθεια vgl. Παρμενίδης καὶ Ἀντιφῶν (später Antisthenes und Simmias).

## ΠΕΡΙ ΤΟΥ ΟΝΤΟΣ

Porphyr. bei Eus. P.E. X 3.25

Σπάνια δὲ τὰ τῶν πρὸ τοῦ Πλάτωνος γεγονότων βιβλία· ἐπεὶ τοὺς πλείους ἄν τις ἐφώρασε τοῦ φιλοσόφου ⟨κλοπάς⟩. Ἐμοὶ δ' οὖν ὅ τι κατὰ τύχην περιπέπτωκε Πρωταγόρου τὸ Περὶ τοῦ Ὄντος ἀναγινώσκοντι λόγον πρὸς τοὺς ἓν τὸ ὂν εἰσάγοντας τοιαύταις αὐτὸν εὑρίσκω χρώμενον ἀπαντήσεσιν. ἐσπούδασα γὰρ αὐταῖς λέξεσι τὰ ῥηθέντα μνημονεύειν. Euseb. fügt zu καὶ ταῦτ' εἰπὼν διὰ πλειόνων τίθησι τὰς ἀποδείξεις.

Identisch mit der Ἀλήθεια?

## ΜΕΓΑΣ ΛΟΓΟΣ

Anecd. Par. (de Hippocr. II Teil) I 171 31

Ὅτι ἐν τῷ ἐπιγραφομένῳ Μεγάλῳ λόγῳ ὁ Πρωταγόρας εἶπε· „φύσεως καὶ ἀσκήσεως διδασκαλία δεῖται" καὶ „ἀπὸ νεότητος δὲ ἀρξαμένους δεῖ μανθάνειν". οὐκ ἂν δ' ἔλεγε τοῦτο, εἰ αὐτὸς ὀψιμαθὴς ἦν, ὡς ἐνόμιζε καὶ ἔλεγεν Ἐπίκουρος περὶ Πρωταγόρου.

Vgl. Platon Πρωταγόρας 323 C ff.

Der Μέγας λόγος ist wohl mit der Ἀλήθεια identisch.

## ΠΕΡΙ ΘΕΩΝ

Eusebius P.E. XIV 3.7

Ὁ μὲν γὰρ Δημοκρίτου γεγονὼς ἑταῖρος ὁ Πρωταγόρας ἀθέου ἐκτήσατο δόξαν. λέγεται γοῦν τοιᾷδε κεχρῆσθαι εἰσβολῇ ἐν τῷ Περὶ θεῶν συγγράμματι. „Περὶ μὲν θεῶν οὐκ ἔχω οὔθ' ὡς εἰσὶν οὔθ' ὡς οὐκ εἰσὶν οὔθ' ὁποῖοί τινες ἰδέαν. πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι ἥ τ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου."

## ΑΝΤΙΛΟΓΙΩΝ Ā B̄

Diogenes III 37

Τὴν Πολιτείαν [Πλάτωνος] Ἀριστόξενός φησι πᾶσαν σχεδὸν ἐν τοῖς Πρωταγόρου γεγράφθαι Ἀντιλογικοῖς. 57 Πολιτείας … ἣν καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωταγόρᾳ ἐν τοῖς Ἀντιλογικοῖς φησι Φαβωρῖνος ἐν Παντοδαπῆς ἱστορίας δευτέρῳ.

## ΤΕΧΝΗ ΕΡΙΣΤΙΚΩΝ

Aristot. Τεχνῶν Συναγωγή Κικέρων Brutus 12.46

Scriptasque fuisse et paratas a Protagora rerum illustrium disputationes, quae nunc communes appellantur loci.

(ἀκολουθεῖ)

(ΠΡΩΤΑΓΟΡΑΣ)

Abderites P., a quo decem milibus denariorum didicisse artem quam edidit Euathlus dicitur. 1,12 horum primi communes locos tractasse dicuntur P., Gorgias; affectus Prodicus et Hippias et idem P. et Thrasymachus. [Quintil.: III 1.10]

ΠΕΡΙ ΤΩΝ ΜΑΘΗΜΑΤΩΝ

ΠΕΡΙ ΠΑΛΗΣ

ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ

vielleicht ein Teil der Ἀντιλογίαι

ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΡΧΗΙ ΚΑΤΑΣΤΑΣΕΩΣ

näml. τοῦ βίου.

ΠΕΡΙ ΦΙΛΟΤΙΜΙΑΣ

ΠΕΡΙ ΑΡΕΤΩΝ

ΠΕΡΙ ΤΩΝ ΟΥΚ ΟΡΘΩΣ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ ΠΡΑΣΣΟΜΕΝΩΝ

ΠΡΟΣΤΑΚΤΙΚΟΣ

ΔΙΚΗ ΠΕΡΙ ΜΙΣΘΟΥ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΙΔΟΥ.

## AUS UNBESTIMMTEN SCHRIFTEN

Περικλέα δὲ τὸν Ὀλύμπιον προσαγορευθέντα πυθόμενον ἀμφοτέρους αὐτοῦ τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον (Ξάνθιππ. καὶ Πάραλον) «τῶν γὰρ υἱέων νεηνιῶν ἐόντων καὶ καλῶν, ἐν ὀκτὼ δὲ ταῖς πάσῃσιν ἡμέρῃσι ἀποθανόντων νηπενθέως ἀνέτλη. εὐδίης γὰρ εἴχετο, ἐξ ἧς πολλὸν ὤνητο κατὰ πᾶσαν ἡμέρην εἰς εὐποτμίην καὶ ἀνωδυνίην καὶ τὴν ἐν τοῖς πολλοῖσι δόξαν· πᾶς γάρ τίς μιν ὁρῶν τὰ ἑαυτοῦ πένθεα ἐρρωμένως φέροντα, μεγαλόφρονά τε καὶ ἀνδρεῖον ἐδόκει εἶναι καὶ ἑαυτοῦ κρέσσω, κάρτα εἰδὼς τὴν ἑαυτοῦ ἐν τοιοῖσδε πράγμασιν ἀμηχανίην. [[Πλουτ.] Cons. ad Apoll. 33 p. 118E]

τέλος